ια περὶ Κλήμεντος τοῦ Ἀλεξανδρέως

ὅ γε μὴν Πάνταινος ἐπὶ πολλοῖς κατορθώμασι τοῦ κατ' Ἀλεξάνδρειαν
τελευτῶν ἡγεῖται διδασκαλείου, ζώσῃ φωνῇ καὶ διὰ συγγραμμάτων
τῶν θείων γραμμάτων θησαυρὸν ὑπομνηματιζόμενος. κατὰ τοῦτον ταῖς θείαις
γραφαῖς συνασκούμενος ἐπ' Ἀλεξανδρείας ἐγνωρίζετο Κλήμης, ὁμώνυμος
τῷ πάλαι τῆς Ῥωμαίων ἐκκλησίας ἡγησαμένῳ φοιτητῇ τῶν ἀποστόλων·
οὗτος δὴ ὀνομαστὶ ἐν αἷς συνέταξεν ὑποτυπώσεσιν ὡς ἂν διδασ-
κάλου τοῦ Πανταίνου μέμνηται· τοῦτον δ' αὐτὸν καὶ τῶν στρωματέων ἐν πρώτῳ
συγγράμματι αἰνίττεσθαί μοι δοκεῖ, ὅτε τῶν ἐπιφανεστέρων τῆς κατειλη-
φυίας ἀποστολικῆς διαδοχῆς ἐπισημαινόμενος ταῦτά φησιν· ἤδη δὲ οὐ γραφὴ
εἰς ἐπίδειξιν τετεχνασμένη ἥδε ἡ πραγματεία, ἀλλά μοι ὑπομνήματα
εἰς γῆρας θησαυρίζεται, λήθης φάρμακον, εἴδωλον ἀτεχνῶς καὶ σκιαγραφία
τῶν ἐναργῶν καὶ ἐμψύχων ἐκείνων ὧν κατηξιώθην ἐπακοῦσαι λόγων τε
καὶ ἀνδρῶν μακαρίων καὶ τῷ ὄντι ἀξιολόγων. τούτων ὁ μέν, ἐπὶ τῆς Ἑλλάδος
ὁ Ἰωνικός, ὁ δέ, ἐπὶ τῆς μεγάλης Ἑλλάδος· τῆς κοίλης ἅτερος αὐτῶν Συρίας ἦν·
ὁ δέ, ἀπ' Αἰγύπτου· ἄλλοι δὲ ἀνὰ τὴν ἀνατολήν· καὶ ταύτης ὁ μὲν τῶν Ἀσσυρίων,
ὁ δέ, ἐν τῇ Παλαιστίνῃ Ἑβραῖος ἀνέκαθεν· ὑστάτῳ δὲ περιτυχών, δυνάμει δὲ
ἄρα πρῶτος ἦν, ἀνεπαυσάμην ἐν Αἰγύπτῳ θηράσας λεληθότα. ἀλλ' οἱ μὲν
τὴν ἀληθῆ τῆς μακαρίας σώζοντες διδασκαλίας παράδοσιν, εὐθὺς ἀπὸ
Πέτρου τε καὶ Ἰακώβου, Ἰωάννου τε καὶ Παύλου τῶν ἁγίων ἀποστόλων, παῖς παρὰ πατρὸς ἐκ-

ιβ περὶ τῶν ἐν Ἱεροσολύμοις ἐπισκόπων

δεξάμενος, ὀλίγοι δὲ οἱ πατράσιν ὅμοιοι, ἧκον δὴ σὺν θεῷ καὶ εἰς ἡμᾶς, τὰ προ-
γονικὰ δὴ ἐκεῖνα καὶ ἀποστολικὰ καταθησόμενοι σπέρματα. [ ]πὶ τού-
του δὲ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἐπίσκοπος ὁ παρὰ πολλοῖς εἰς ἔτι νῦν βοώμενος Νάρ-
κισσος ἐγνωρίζετο· πεντεκαιδέκατος ἀπὸ τῶν διαδοχῶν ἀπὸ τῆς Ἰουδαίων
κατὰ Ἀδριανὸν πολιορκίας· ἐξ οὗ δὴ πρῶτον τῆς αὐτόθι ἐκκλησίας ἐξ ἐθνῶν
συστῆναι μετὰ τοὺς ἐκ περιτομῆς καθηγήσασθαι τῆς αὐτῆς πρῶτον ἐξ ἐθνῶν
ἐπίσκοπον Μάρκον ἐδηλώσαμεν· μεθ' ὃν ἐπίσκοπον Κασσιανόν, αἱ
τῆς αὐτόθι διαδοχαὶ περιέχουσι· καὶ μετὰ τοῦτον, Πούπλιον· εἶτα Μάξιμον
καὶ ἐπὶ τούτοις Ἰουλιανόν· ἔπειτα Γάϊον· μεθ' ὃν Σύμμαχον· καὶ Γάϊον ἕτερον
καὶ πάλιν ἄλλον Ἰουλιανόν· Καπίτωνά τε πρὸς τούτοις, καὶ Οὐάλεντα, καὶ Δολι-

ιγ περὶ Ῥόδωνος καὶ τῆς ὑπ' αὐτοῦ μνημονευομένης κατὰ Μαρκίωνα διαφωνίας

χιανόν· καὶ ἐπὶ πᾶσι τὸν Νάρκισσον, τριακοστὸν ἀπὸ τῶν ἀποστόλων κατὰ τὴν
ἑξῆς διαδοχὴν γεγενημένον. [ ]ν τούτῳ καὶ Ῥόδων γένος τῶν ἀπὸ Ἀσίας
μαθητευθεὶς ἐπὶ Ῥώμης ὡς αὐτὸς ἱστορεῖ Τατιανῷ, ὃν ἐκ τῶν πρόσθεν ἔγνωμεν,
διάφορα συντάξας βιβλία, μετὰ τῶν λοιπῶν καὶ πρὸς τὴν Μαρ-
κίωνος παρατέτακται αἵρεσιν· ἣν καὶ εἰς διαφόρους γνώμας κατ' αὐτὸν δια-

http://digital.slub-dresden.de/ppn334880238/52